ἀτεχνῶς· ἵνα ὡς σκόλοψ κεχαραγμένος ὠσὶ τρίβης τελωνῶν· ἀγέρασοι τούτων μέλημα μηδὲν, τὸν γοῦν ἑκαστὸν οὗ ἐὰν ναὸν, ὅπως καὶ ὑπὸ προσπάσχειν τῷ πάσχοντι καὶ ὡς ἀληθῶς κεῦ ὀλοφυρόμενον, τὸν ἑαυτοῦ πέπλον διέρρηξε· καὶ γυμνὰ προὔθηκε πᾶσι τὰ τέως ἀθέατα· ἢ π, καὶ λυχνία ἡλίου μιμουμένη ἀπέσβηκε καὶ αὐτή· καὶ τράπεζα ἱερά· καὶ κιβωτὸς ἀνατέτραπται· τῷ κλόνῳ τοῦ παντὸς συγκυκωμένη· ὢ τῆς μανίας· οὐδὲ ταῦτ' ἐπιστρέφει τοὺς θεομάχους ἀσεβεῖς ἅμα εὐθὺς οὔτε ἐγηγερμένοι νεκροὶ καὶ πολλοῖς ἐμφανιζόμενοι πείθουσι· πῶς γὰρ τὸν μωσέως καὶ προφητῶν οὐκ ἀκούοντα, οὐκ ἂν φθάνοιεν ἐγηγερμένοι τοῦτοι οἱ νεκροί, ἅπερ τοῖς μιαιφόνοις ἐμφανισθήσεται· ὥσπερ καὶ λάζαρος ἐκινδύνευε πρότερα δίκαιον ὑποσχεῖν θανάτου, ὅτι περ ἀνεβίω ὡς νεκρὸς ἀναστάς· οὕτως ἐκπεπολέμωται τε ξασω ὁ μωρὸς οὗτος λαὸς καὶ οὐχὶ σοφός· χαίρουσι δὲ οἱ αἵμα ἀνθρώπου· ἀντὶ τῆς ποιηθείσης σωτηρίας ἀπαρχῆς δὴ θεοκτόνῳ καὶ παρεισαγαγόντι τὸν θάνατον· ταῦτα τὰ ἐναντία κατὰ χριστοῦ μελετῶσι καὶ οὐδὲ θανόντι παρενδέεται· ἐναλλεται δὲ καὶ κειμένῳ καὶ ὀνομάζουσι πλάνον· οἴμοι πλάνος ἐκεῖνος ὁ ποιμαίνων τὸν ἰσραήλ· ὁ ὁδηγῶν ὡς πρόβατον τὸν ἰωσήφ· πλάνος τὸ φῶς ἡ ὁδὸς ἡ ζωὴ καὶ ἀλήθεια· ὁ πᾶσαν ὁδὸν ἐξευρὼν ἐπιστήμης ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· καὶ ζητῶν τὸ πλανώμενον, πάντες ὡς πρόβατα ἐπλανήθημεν ἡσαΐας φησίν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη καὶ κ(ύριο)ς παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ πλάνον ὀνομάζουσιν οἱ κατὰ τὸν δαβὶδ ἀεὶ πλανώμενοι τῇ καρδίᾳ τὸν μαρτυρούμενον παρὰ τῶν προφητῶν, ὡς ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι

http://digital.slub-dresden.de/ppn345490649/24